ἔθηκε τήν τε μίτρην
ἧ μαστοὺς ἐφίλησε †τόν τε πᾶνα
* * * *
καὶ τοὺς αὐτοὺς ὁρῇ τάλαινα θάρσους†

## XXI (33)

Ἄρτεμι, τὶν τόδ' ἄγαλμα Φιληρατὶς εἵσατο τῇδε·
ἀλλὰ σὺ μὲν δέξαι, πότνια, τὴν δὲ σάου.

## XXII (34)

τίν με, λεοντάγχ' ὦνα συοκτόνε, φήγινον ὄζον
θῆκε—τίς;—Ἀρχῖνος.—ποῖος;—ὁ Κρής.—δέχομαι.

## XXIII (53)

καὶ πάλιν, Εἰλείθυια, Λυκαινίδος ἐλθὲ καλεύσης
εὔλοχος ὠδίνων ὧδε σὺν εὐτοκίῃ,
ὡς τόδε νῦν μέν, ἄνασσα, κόρης ὕπερ, ἀντὶ δὲ παιδός
ὕστερον εὐώδης ἄλλο τι νηὸς ἔχοι.

## XXIV (54)

τὸ χρέος ὡς ἀπέχεις, Ἀσκληπιέ, τὸ πρὸ γυναικός
Δημοδίκης Ἀκέσων ὤφελεν εὐξάμενος,
γιγνώσκειν· ἢν δ' ἆρα λάθῃ καὶ ⟨δίς⟩ μιν ἀπαιτῇς,
φησὶ παρέξεσθαι μαρτυρίην ὁ πίναξ.